eul_wid: swk-ab

*Λιβάνιος ὁ Ἀντιοχεύς* · Libanius of Antioch

# Correspondence of Basil and Libanius

*Ἀλληλογραφία Βασιλείου καὶ Λιβανίου*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Ἐπιστολή* Epistle

1 t Λιβανίῳ Βασίλειος. Αἰσχύνομαι καθ’ ἕνα σοι προσάγων τοὺς Καππαδόκας, ἀλλὰ μὴ πάντας τοὺς ἐν ἡλικίᾳ πείθων λόγων καὶ παιδεύσεως ἀντιποιεῖσθαι καὶ σοὶ κεχρῆσθαι τῆς ἀσκήσεως διδασκάλῳ.

1 2 ἀλλ’ ἐπειδὴ πάντων εἰσάπαξ ἐπιτυχεῖν τὰ προσήκοντα σφίσιν αὐτοῖς αἱρουμένων οὐχ οἷόν τε, τοὺς ἑκάστοτε πειθομένους παραπέμπομαί σοι τοσοῦτον αὐτοῖς χαριζόμενος, ὅσον καὶ οἱ τοῖς διψῶσι καθηγούμενοι τὰς πηγάς. ὁ δὲ νῦν προσιὼν μικρὸν ὕστερον ἑαυτοῦ ἕνεκεν σπουδασθήσεται, ἐπειδάν σοι συγγένηται· νῦν δὲ ἀπὸ πατρός ἐστι γνώριμος μέγα ἐπὶ ὀρθότητι βίου καὶ δυνάμει πολιτικῇ παρ’ ἡμῖν λαβόντος ὄνομα, ὃς καὶ ἐμοὶ εἰς τὴν ἄκραν φιλίαν ἥρμοσται.

1 4 ἧς ἀμειβόμενος αὐτὸν τῷ παιδὶ ταύτην τὴν χάριν δίδωμι σοὶ ποιῶν αὐτὸν γνώριμον, πρᾶγμα μεγίστης εὐχῆς ἄξιον τοῖς ἀρετὴν ἀνδρὸς κρίνειν ἐπισταμένοις. Βασιλείῳ Λιβάνιος.

2 1 Διὰ χρόνου πρὸς ἡμᾶς Καππαδόκης ἥκει νέος· ἓν τοῦτο κέρδος, ὅτι Καππαδόκης. ἀλλὰ καὶ τοῦ πρώτου γένους οὗτος ὁ Καππαδόκης· δεύτερον τοῦτο κέρδος. ἀλλὰ καὶ γράμματα τοῦ θαυμαστοῦ Βασιλείου κομίζων ἡμῖν· τουτὶ μέν, ὅτου τίς ἂν εἴποι μεῖζον; ἐγὼ γὰρ ὃν ἐπιλελῆσθαί σου νομίζεις, καὶ πάλαι νέον ὄντα ᾐδούμην σωφροσύνῃ τε πρὸς τοὺς γέροντας ἁμιλλώμενον ὁρῶν, καὶ ταῦτα ἐν ἐκείνῃ τῇ πόλει τῇ ταῖς ἡδοναῖς βρυούσῃ, καὶ λόγων ἤδη μοῖραν κεκτημένον μεγάλην.

2 2 ἐπειδὴ δὲ ᾠήθης δεῖν καὶ τὰς Ἀθήνας ἰδεῖν καὶ τὸν Κέλσον ἔπειθες, συνέχαιρον τῷ Κέλσῳ τῆς σῆς ἐξηρτημένῳ ψυχῆς. ἐπανήκοντος δέ σου καὶ ἔχοντος τὴν πατρίδα ἔλεγον πρὸς ἐμαυτόν· τί νῦν ἡμῖν ὁ Βασίλειος δρᾷ καὶ πρὸς τίνα βίον ὥρμηκε ν ; ἆ ρ ’ ἐν δικαστηρίοις στρέφεται τοὺς παλαιοὺς ῥήτορας ζηλῶν ἢ ῥήτορας εὐδαιμόνων πατέρων ἀπεργάζεται παῖδα ς ; ὡς δὲ ἧκόν τινες ἀπαγγέλλοντες ἀμείνω σε πολλῷ τουτωνὶ τῶν ὁδῶν πορεύεσθαι καὶ σκοπεῖν, ὅπως ἂν γένοιο θεῷ μᾶλλον φίλος ἢ συλλέξεις χρυσίον, εὐδαιμόνισα σέ τε καὶ Καππαδόκας, σὲ μὲν τοιοῦτον βουλόμενον εἶναι, ἐκείνους δὲ τοιοῦτον δυναμένους δεικνύναι πολίτην.

2 5 Φιρμῖνος δὲ ἐκεῖνος ὡς πανταχοῦ διετέλεσε κρατῶν εὖ οἶδα, ἐντεῦθεν γὰρ αὐτῷ τῶν λόγων ἡ δύναμις, πολλῶν δὲ ἐπαίνων ἀπολαύσας οὐκ οἶδα ὅτι πώποτε τηλικούτων, ἡλίκων νῦν ἐν τοῖς σοῖς ἀκήκοα γράμμασι. τὸ γὰρ μηδένα ἂν τὴν ἐκείνου δόξαν ὑπερβάλλεσθαι σὲ τὸν λέγοντα

εἶναι πόσον τι χρὴ νομίζειν ἐκείνῳ; δοκεῖς δέ μοι καὶ τούτους ἀπεσταλκέναι πρὶν ἢ τὸν Φιρμῖνον ἰδεῖν. [5]

26 τί γὰρ αὐτὸν οὐκ εἶχε τὰ γράμματα; καὶ νῦν τί ποιεῖ ἢ τί μέλλει Φιρμῖνος; ἔτ' ἐστὶν ἐν τοῖς τῶν γάμων πόθοις; ἢ ἐκεῖνα μὲν πάλαι πέπαυται, βαρεῖα δὲ ἡ βουλὴ καὶ πᾶσα ἀνάγκη μένειν; ἤ τινές εἰσιν ἐλπίδες ὡς αὖθις ἔσται λόγων κοινωνός; ἀποκρινάσθω τι ἡμῖν, καὶ εἴη μέν τι χρηστόν· εἰ δ' οὖν τι καὶ λυπήσει, τοῦ βλέπειν γε ἡμᾶς πρὸς τὰς πύλας ἀπαλλάξει. [5]

27 εἰ δὲ Ἀθήνησι νῦν ὁ Φιρμῖνος ἐτύγχανεν ὤν, τί ἂν ἔδρων οἱ βουλεύοντες παρ' ὑμῖν; ἢ τὴν Σαλαμινίαν ἔπεμπον ἂν ἐπ' αὐτόν; ὁρᾷς ὅτι καὶ μόνον ὑπὸ τῶν σῶν ὑβρίζομαι πολιτῶν. [5]

28 οὐ μὴν ἔγωγε τοῦ φιλεῖν καὶ ἐπαινεῖν Καππαδόκας παύσομαι. ἀλλ' εὔχομαι μὲν αὐτοὺς ἀμείνους γενέσθαι περὶ ἐμέ, μένοντας δὲ ἐπὶ τῶν αὐτῶν οἴσω. Φιρμῖνος δὲ μῆνας ἡμῖν συνεγένετο τέτταρας, ἡμέραν δὲ ἤργησεν οὐδεμίαν. [5]

29 τὸ δὲ συνειλεγμένον ὅσον ἐστίν, αὐτὸς εἴσῃ καὶ ἴσως οὐ μέμψῃ. πρὸς δὲ τὸ πάλιν αὐτὸν δεῦρο δυνηθῆναι ἐλθεῖν τίνα χρὴ προσπαρακαλεῖν σύμμαχον; εἴπερ γὰρ εὖ φρονοῦσιν οἱ βουλεύοντες —πρέποι δ' ἂν ἀνθρώποις πεπαιδευμένοις—τιμήσουσι τοῖς δευτέροις, ἐπειδὴ τοῖς πρώτοις ἐλύπησαν. Λιβανίῳ Βασίλειος. [5]

31 Ἰδού, σοι καὶ ἕτερος ἥκει Καππαδόκης, υἱὸς ἐμὸς καὶ οὗτος. πάντας γὰρ ἡμῖν εἰσποιεῖ τὸ σχῆμα τοῦτο, ἐν ᾧ νῦν ἐσμεν· ὥστε κατά γε τοῦτο ἀδελφὸς ἂν εἴη τοῦ προλαβόντος καὶ τῆς αὐτῆς σπουδῆς ἄξιος ἐμοί τε τῷ πατρὶ καὶ σοὶ τῷ διδασκάλῳ, εἴπερ τι ὅλως πλέον δυνατὸν ἔχειν τοὺς παρ' ἡμῶν ἐρχομένους. τοῦτο δὲ λέγω οὐχ ὡς οὐκ ἂν τῆς σῆς λογιότητος πλέον τι τοῖς παλαιοῖς τῶν ἑταίρων χαριζομένης, ἀλλ' ὡς ἀφθόνου πᾶσι τῆς ὠφελείας σου προκειμένης. [5]

33 ἀρκοῦν δ' ἂν εἴη τῷ νεανίσκῳ πρὸ τῆς ἐκ τοῦ χρόνου πείρας ἐν τοῖς οἰκείοις τετάχθαι. ὃν ἀποπέμψαιο ἡμῖν ἄξιον τῶν τε ἡμετέρων εὐχῶν καὶ τῆς σαυτοῦ δόξης ἣν ἔχεις ἐν τοῖς λόγοις. ἐπάγεται δὲ καὶ ἡλικιώτην τὴν ἴσην ἔχοντα περὶ τοὺς λόγους σπουδήν, εὐπατρίδην καὶ αὐτὸν καὶ ἡμῖν οἰκεῖον, ὃν οὐδὲν ἔλαττον ἕξειν πιστεύομεν, κἂν πλεῖστον τῶν ἄλλων τοῖς χρήμασιν ἀπολείποιτο.

4t Βασιλείῳ Λιβάνιος. Οἶδα ὅτι πολλάκις τοῦτο γράψεις τὸ ἰδο ύ , σοι καὶ ἕτερος ἥκει Καππαδόκη ς.

41 πολλοὺς γάρ, οἶμαι, πέμψεις ἀεὶ μὲν καὶ πανταχοῦ τοῖς χρώμενος ἐγκωμίοις κατ' ἐμοῦ, τούτῳ δὲ αὐτῷ καὶ πατέρας κινῶν καὶ παῖδας. ἀλλ' ὅ γε ἐγένετο περὶ τὴν ἐπιστολήν σου τὴν καλήν, οὐ καλὸν σιωπῆσαι.

42 παρεκάθηντό μοι τῶν ἐν ἀρχῇ γεγενημένων ἄλλοι τε οὐκ ὀλίγοι καὶ ὁ πάντα ἄριστος Ἀλύπιος, Ἱεροκλέους ἀνεψιὸς ἐκείνου. ὡς οὖν ἔδοσαν οἱ φέροντες τὴν ἐπιστολήν, σιγῇ διὰ πάσης ἐλθὼν νενικήμεθα ἔφην μειδιῶν τε ἅμα καὶ χαίρων. [5]

43 καὶ τίνα σὺ νενίκησαι νίκη ν ; ἤροντο καὶ πῶς οὐκ ἀλγεῖς νενικημένο ς ; ἐν κάλλει μὲν ἔφην ἐπιστολῶν νενίκημα ι , Βασίλειος δὲ κεκράτηκ ε , φίλος δὲ ὁ ἀνή ρ , καὶ διὰ τοῦτο εὐφραίνομα ι . ταῦτα εἰπόντος ἐμοῦ παρ' αὐτῶν μαθεῖν ἠβουλήθησαν τῶν γραμμάτων τὴν νίκην. [5]

44 καὶ ἀνεγίνωσκε μὲν ὁ Ἀλύπιος, ἤκουον δὲ οἱ παρόντες, ψῆφος δὲ ἠνέχθη μηδέν με ἐψεῦσθαι. καὶ τὰ γράμματα ἔχων ὁ ἀναγνοὺς ἐξῄει δείξων, οἶμαι, καὶ ἄλλοις καὶ μόλις ἀπέδωκε. γράφε τοίνυν παραπλήσια καὶ νίκα, τουτὶ γάρ ἐστιν ἐμὲ νικᾶν. καλῶς δὲ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται τὰ παρ' ἡμῶν, ἀλλ' ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι τὸ βουληθῆναι λαβεῖν. [5]

45 κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων, ἀλλ' οὐδὲν κωλύσει ταύτῃ γε εἶναι βελτίονας. μηδεὶς οὖν πένης δεῦρο ὀκνείτω βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται μόνον τὸ ἐπίστασθαι πονεῖν. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 t Λιβανίῳ Βασίλειος. Τί οὐκ ἂν εἴποι σοφιστὴς ἀνὴρ καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὁμολογεῖται καὶ τὰ μεγάλα μικρὰ ποιεῖν, ὅτε βούλοιτο, καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος; ὁποῖον δή τι καὶ περὶ ἡμᾶς ἐπεδείξω.

5 2 τὴν γὰρ ἐπιστολὴν ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ τὰ περὶ τοὺς λόγους τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῆς ἐν ταῖς χερσί σου ταύτης ἀνεκτοτέραν τοσοῦτον ἦρας τῷ λόγῳ, ὡς ἡττηθῆναι δῆθεν αὐτῆς καὶ ἡμῖν τῶν πρωτείων τοῦ γράφειν παραχωρεῖν, ὅμοιον ποιῶν ταῖς τῶν πατέρων παιδιαῖς, ὅταν ταῖς παρ' ἑαυτῶν νίκαις παραχωρῶσι τοῖς παισὶν ἐναβρύνεσθαι οὔτε ἑαυτούς τι ζημιοῦντες καὶ τῶν παίδων τρέφοντες τὸ φιλότιμον. τῷ ὄντι δὲ καὶ ἀμύθητον, ὅσην ἡδονὴν εἶχεν ὁ λόγος ἐν τῇ πρὸς ἡμᾶς παιδιᾷ οἷον Πολυδάμαντός τινος ἢ Μίλωνος παγκρατίου ἢ πάλης ἀγωνίαν παραιτουμένου τὴν πρὸς ἐμαυτόν.

5 4 πολλὰ γὰρ περισκεψάμενος οὐδὲν εὗρον εὐσθενείας ὑπόδειγμα, ὥστε τοὺς τὰς ὑπερβολὰς τῶν λόγων ἐπιζητοῦντας ἐνταῦθα σὲ μᾶλλον ἄγασθαι τῆς δυνάμεως οὕτω δυνηθέντα ταῖς παιδιαῖς πρὸς ἡμᾶς καταβῆναι ἢ εἰ τὸν βάρβαρον ἦγες ὑπὲρ τὸν Ἄθω πλέοντα. ἀλλ' ἡμεῖς μέν, ὦ θαυμάσιε, Μωσεῖ καὶ Ἡλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σύνεσμεν ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν καὶ τὰ παρ' ἐκείνων φθεγγόμεθα, νοῦν μὲν ἀληθῆ, λέξιν δὲ ἀμαθῆ, ὡς αὐτὰ ταῦτα δηλοῖ.

5 5 εἰ γάρ τι καὶ ἦμεν παρ' ὑμῶν διδαχθέντες, ὑπὸ τοῦ χρόνου ἐπελαθόμεθα. αὐτὸς δὲ ἐπίστελλε ἡμῖν ἄλλας ὑποθέσεις ἐπιστολῶν ποιούμενος, αἳ καὶ σὲ δείξουσι καὶ ἡμᾶς οὐκ ἐλέγξουσι.

5 6 τὸν υἱὸν Ἀνυσίου ἤδη σοι προσήγαγον ὡς ἐμαυτοῦ υἱόν. εἰ δὲ ἐμός ἐστι παῖς, τοῦ πατρός ἐστι τὸ παιδίον, πένης ἐκ πένητος, γνώριμον δὲ τὸ λεγόμενον ἀνδρὶ σοφῷ τε καὶ σοφιστῇ. Βασιλείῳ Λιβάνιος.

6 1 Εἰ πάνυ πολὺν χρόνον ἐσκόπεις, πῶς ἂν ἄριστα συνείποις τοῖς περὶ τῶν σῶν γραμμάτων ἡμετέροις γράμμασιν, οὐκ ἂν ἄμεινον τοῦτό μοι ποιῆσαι ἐδόκεις ἢ τοιαῦτα γράφων, ὁποῖα νῦν ἔγραψας. καλεῖς μὲν γάρ με σοφιστήν, τοῦ δὲ τοιούτου εἶναι φῂς τὸ δύνασθαι τὰ μικρὰ μὲν μεγάλα ποιεῖν, τὰ δ' αὖ μεγάλα μικρά.

6 2 καὶ δὴ τὴν ἐμὴν ἐπιστολὴν βεβουλῆσθαι φῂς δεῖξαι τὴν σὴν καλὴν οὐκ οὖσαν καλήν· εἶναί τε γὰρ οὐδὲν ἧς νῦν ἔπεμψας βελτίω ὅλως τε οὐδεμίαν εἶναι παρὰ σοὶ λόγων δύναμιν τῶν μὲν νῦν ὄντων ἐν χερσὶ βιβλίων τοῦτο οὐ ποιούντων, ὧν δὲ εἶχες πρότερον λόγων ἐξερρυηκότων. καὶ ταῦτα πείθειν ἐπιχειρῶν οὕτω καλὴν καὶ ταύτην ἣν λέγεις κακῶς εἰργάσω τὴν ἐπιστολήν, ὥσθ' οἱ παρόντες ἡμῖν οὐκ εἶχον μὴ πηδᾶν ἀναγινωσκομένης.

6 3 ἐθαύμασα οὖν ὅτι ταύτῃ τὴν προτέραν καθελεῖν ἐπιχειρήσας τῷ φάναι ταύτῃ τὴν προτέραν ἐοικέναι ταύτῃ τὴν προτέραν ἐκόσμησας. χρῆν δὲ ἄρα τὸν τοῦτο βουλόμενον χείρονα ποιῆσαι ταύτην ἐπὶ διαβολῇ τῆς πρόσθεν.

6 4 ἀλλ' οὐκ ἦν, οἶμαι, σὸν ἀδικῆσαι τὴν ἀλήθειαν. ἠδίκητο δ' ἂν γράφοντος ἐξεπίτηδες φαυλότερα καὶ οὐ χρωμένου τοῖς οὖσι. τοῦ αὐτοῦ τοίνυν ἂν εἴη τὸ μηδὲ ψέγειν ἃ δίκαιον ἐπαινεῖν, ἵνα μή σε τὸ πρᾶγμα φέρον εἰς σοφιστὰς ἐμβάλῃ πειρώμενον ταπεινὰ τὰ μεγάλα ποιεῖν.

6 6 βιβλίων μὲν οὖν ὧν φῂς εἶναι χείρω μὲν τὴν λέξιν, ἀμείνω δὲ τὴν διάνοιαν, ἔχου, καὶ οὐδεὶς κωλύσει· τῶν δὲ ἡμετέρων μὲν ἀεί, σῶν δὲ πρότερον αἱ ῥίζαι μένουσί τε καὶ μενοῦσιν, ἕως ἂν ᾖς, καὶ οὐδεὶς μήποτε αὐτὰς ἐκτέμῃ χρόνος οὐδ' ἂν ἥκιστα ἄρδῃς. Βασιλείῳ Λιβάνιος.

7 1 Οὔπω μοι τῆς λύπης ὑφῆκας, ὥστε με μεταξὺ γράφοντα τρέμειν; εἰ μὲν οὖν ὑφῆκας, τί οὐκ ἐπιστέλλεις, ὦ ἄριστε; εἰ δὲ κατέχεις ἔτι ὃ πάσης λογίας ψυχῆς καὶ τῆς σῆς ἀλλότριον, πῶς ἄλλοις κηρύττων μὴ χρῆναι μέχρι δυσμῶν ἡλίου λύπην φυλάττειν αὐτὸς ἐν πολλοῖς ἡλίοις

ἐφύλαξας; ἢ τάχα τιμωρεῖσθαί με βούλει τῆς μελιχρᾶς σου φωνῆς ἀποστερῶν; μὴ σύ γε, ὦ γενναῖε, ἀλλὰ γενοῦ πρᾷος καὶ δὸς ἀπολαῦσαι τῆς παγχρύσου σου γλώττης.

8 t Λιβανίῳ Βασίλειος. Οἱ πρὸς τὸ ῥόδον ἔχοντες, ὡς τοὺς φιλοκάλους εἰκός, οὐδὲ τὰς ἀκάνθας ὧν τὸ ἄνθος ἐκφύεται δυσχεραίνουσι.

8 1 καί τινος ἤκουσα τοιοῦτόν τι περὶ αὐτῶν παίζοντος ἢ τάχα που καὶ σπουδάζοντος, ὅτι καθάπερ ἐρωτικά τινα κνίσματα τοῖς ἐρασταῖς τοῦ ἄνθους ἡ φύσις τὰς λεπτὰς ἐκείνας ἀκάνθας προσέφυσε πρὸς μείζονα πόθον τοῖς ἀπλήκτοις κέντροις τοὺς δρεπομένους ὑπερεθίζουσα. τί δή μοι βούλεται τοῖς γράμμασι τὸ ῥόδον ἐπεισαγόμενον, πάντως οὐδὲν δεῖ σε διδαχθῆναι τῆς ἐπιστολῆς μεμνημένον τῆς σῆς, ἣ τὸ μὲν ἄνθος εἶχε τοῦ ῥόδου ὅλον ἡμῖν τὸ ἔαρ τῆς εὐγλωττίας διαπετάσασα, μέμψεσι δέ τισι καὶ ἐγκλήμασι καθ’ ἡμῶν ἐξηκάνθωτο.

8 3 ἀλλ’ ἐμοὶ τῶν σῶν λόγων καθ’ ἡδονήν ἐστι καὶ ἡ ἄκανθα πρὸς μείζονα πόθον τῆς φιλίας ἐκκαίουσα. Βασιλείῳ Λιβάνιος.

9 1 Εἰ ταῦτα γλώττης ἀργοτέρας, τίς ἂν εἴης αὐτὴν ἀκονῶν; σοὶ μὲν γὰρ ἐν τῷ στόματι λόγων οἰκοῦσι πηγαὶ κρείσσους ναμάτων ἐπιρροῆς· ἡμεῖς δὲ εἰ μὴ καθ’ ἡμέραν ἀρδοίμεθα, λείπεται τὸ σιγᾶν. Λιβανίῳ Βασίλειος.

10 1 Τὸ μὴ συνεχῶς με γράφειν πρὸς τὴν σὴν παίδευσιν πείθουσι τό τε δέος καὶ ἡ ἀμαθία· τὸ δὲ σὲ καρτερικώτατα σιωπᾶν τί τῆς μέμψεως ἐξαιρήσεται; εἰ δέ τις λογίσαιτο τὸ καὶ ἐν λόγοις σε βιοῦντα ὀκνεῖν ἐπιστέλλειν, καταψηφιεῖταί σου λήθην τὴν πρὸς ἡμᾶς· ᾧ γὰρ τὸ λέγειν πρόχειρον, καὶ τὸ ἐπιστέλλειν οὐκ ἀνέτοιμον.

10 2 ὁ δὲ ταῦτα κεκτημένος, εἶτα σιγῶν, εὔδηλον ὡς ὑπεροψίᾳ ἢ λήθῃ τοῦτο ποιεῖ. ἐγὼ δὲ σοῦ τὴν σιωπὴν ἀμείψομαι προσρήσει· χαῖρε τοίνυν, τιμιώτατε, καὶ γράφε, εἰ βούλοιο, καὶ μὴ γράφε, εἰ τοῦτό σοι προσφιλές.

11 t Βασιλείῳ Λιβάνιος. Μᾶλλον ὅτι μὴ πάλαι σοι γράφειν ἠρξάμην, οἶμαί μοι δεῖν ἀπολογίας ἢ νῦν παραιτήσεως, ὅτι τοῦτο ποιεῖν ἠρξάμην.

11 1 ἐγὼ γὰρ ἐκεῖνος ὁ προσθέων, ὁπότε φανείης, καὶ ὡς ἥδιστα ὑπέχων τὰ ὦτα τῷ ῥεύματι τῆς γλώττης καὶ λέγοντος εὐφραινόμενος καὶ μόλις ἀπαλλαττόμενος καὶ πρὸς τοὺς ἑταίρους λέγων, ὡς οὗτος ἁνὴρ τοσούτῳ καλλίων τῶν Ἀχελῴου θυγατέρω ν , ὅσῳ θέλγει μὲν ᾗπερ ἐκεῖνα ι , βλάπτει δὲ οὐχ ὥσπερ ἐκεῖνα ι . καὶ μικρόν γε τὸ μὴ βλάπτει ν , ἀλ λ ’ ἔστι τὰ τοῦδε μέλη κέρδος τῷ δεξαμέν ῳ . τὸν οὖν οὕτω μὲν γνώμης ἔχοντά με, νομίζοντα δὲ καὶ φιλεῖσθαι, λέγειν δὲ δοκοῦντα δύνασθαι μὴ τολμᾶν ἐπιστέλλειν τῆς ἐσχάτης ἀργίας, καὶ ἅμα τοῦτ’ ἂν εἴη ζημιοῦντος αὐτόν.

11 2 δῆλον γὰρ ὡς ἀμείψῃ μου τὴν ἐπιστολὴν ταυτηνὶ τὴν μικρὰν καὶ φαύλην καλῇ τε καὶ μεγάλῃ, καὶ φυλάξῃ δήπου μή με καὶ δεύτερον ἀδικῆσαί τι. οἶμαι δὲ πολλοὺς βοήσεσθαι πρὸς τὸ ῥῆμα καὶ περιστήσεσθαι τὰ γράμματα κεκραγότας· Βασίλειος ἠδίκηκέ τ ι , κἂν σμικρό ν ; οὐκοῦν καὶ Αἰακὸς καὶ Μίνως καὶ ὁ τούτου γε ἀδελφό ς ; ἐγὼ δέ σε τῇ μὲν ἄλλῃ κἀκείνους νενικηκέναι συγχωρῶ, —τίς δὲ οὐκ ἂν εἰδώς τέ σε καὶ οὐ φθονῶν; —ἓν δέ τί σοι πρὸς ἡμᾶς ἡμάρτηται, κἄν σε τοῦτο ἀναμνήσω, πεῖθε τοὺς ἀγανακτοῦντας μὴ βοᾶν.

11 4 οὐδείς σοι προσελθὼν καὶ χάριν ἐπαγγείλας, ἣν δοῦναι ῥᾷστον, ἀτυχήσας ἀπῆλθεν. εἰμὶ τοίνυν ἐγὼ τῶν χάριν αἰτησάντων μέν, οὐ λαβόντων δέ. τί οὖν ᾔτουν; πολλάκις ἐν Στρατηγίου σοι συγγενόμενος ἐδεήθην διὰ τῆς σῆς σοφίας εἰς τὸ βάθος τῆς Ὁμήρου μανίας εἰσελθεῖν. εἰ δὲ τὸ πᾶν οὐ δυνατόν, ἔφην, σὺ δὲ ἀλ λ ’ εἰς μέρος ἡμᾶς εἴσαγε τοῦ κλήρο υ . μέρους δὲ ἐπεθύμουν, ἐν ᾧ τῶν Ἑλλήνων πεπραγότων κακῶς ὃν ὕβριζεν Ἀγαμέμνων θεραπεύει δώροις.

11 5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῦτά μου λέγοντος ἐγέλας ἀρνεῖσθαι μὲν οὐκ ἔχων ὡς οὐκ ἂν δύναιο βουληθείς, δωρεῖσθαι δὲ οὐκ ἐθέλων. ἆρα σοὶ καὶ τοῖς ἀγανακτοῦσιν ὅτι σε ἔφην ἀδικεῖν ἠδικῆσθαι δοκῶ; Βασιλείῳ Λιβάνιος.

12 1 Εἰ μέν τι περὶ τοὺς λόγους τοῖς νέοις οἷς ἔπεμψας προσεθήκαμεν, αὐτὸς κρινεῖς· ἐλπίζω δὲ αὐτό, κἂν μικρὸν ᾖ, μεγάλου λήψεσθαι δόξαν διὰ τὴν πρὸς ἡμᾶς φιλίαν. ὃ δὲ πρὸ τῶν λόγων ἐπαινεῖς τὴν σωφροσύνην καὶ τὸ μὴ παραδοῦναι τὰς ψυχὰς ταῖς οὐ καλαῖς ἡδοναῖς, πάνυ τούτου πεποίηνται πρόνοιαν καὶ διήγαγον, ὡς εἰκὸς ἦν, τοῦ πέμψαντος μεμνημένοι.

12 3 δέχου δὴ τὰ σεαυτοῦ καὶ ἐπαίνει τοὺς σέ τε κἀμὲ τῷ τρόπῳ κεκοσμηκότας. παρακαλεῖν δὲ σὲ πρὸς τὸ βοηθεῖν ὅμοιον ἦν τῷ πατέρα παισὶ παρακαλεῖν βοηθεῖν. Βασιλείῳ Λιβάνιος.

13 1 Πᾶς μὲν ἐπίσκοπος πρᾶγμα δυσγρίπιστον, σὺ δὲ ὅσῳ τοὺς ἄλλους παρελήλυθας λογιότητι, τοσούτῳ μοι καὶ φόβον παρέχεις μή πως ἔξαρνος στῇς πρὸς τὴν αἴτησιν. κἀπειδὴ στρωτήρων δέομαι, κάμακας δ’ ἂν ἢ χάρακας ἄλλος εἶπε σοφιστὴς οὐ χρῄζων, ἀλλὰ τοῖς ῥηματίοις ἐγκαλλωπιζόμενος 〈μᾶλλον〉 ἢ τῆς χρείας γινόμενος—ἐγὼ δέ, εἰ μὴ σὺ παράσχοις, ὕπαιθρος διαχειμάσω.

14 t Λιβανίῳ Βασίλειος. Εἰ τὸ κερδαίνειν τοῦτο γριπίζειν λέγεται καὶ ταύτην ἔχει τὴν σημασίαν ἡ λέξις, ἣν ἐκ τῶν Πλάτωνος ἀδύτων ἡ σοφιστική σου ἡμῖν προεχειρίσατο, σκόπησον, ὦ θαυμάσιε, τίς μᾶλλόν ἐστι δυσγρίπιστος, ἡμεῖς οἱ οὕτω δι’ ἐπιστολιμαίας δυνάμεως ἀποχαρακούμενοι ἢ τὸ τῶν σοφιστῶν γένος, οἷς τέχνη τὸ τελωνεῖν τοὺς λόγους ἐστί.

14 1 τίς τῶν ἐπισκόπων τοὺς λόγους ἐφοροθέτησε; τίς τοὺς μαθητευομένους μισθοφόρους κατέστησεν; ὑμεῖς οἱ προτιθέντες τοὺς λόγους ὤνια ὥσπερ οἱ τοῦ μέλιτος ἑψηταὶ τὰ μελίπηκτα. ὁρᾷς, ὡς καὶ τὸν γέροντα ὑποσκιρτᾶν παρεκίνησας; ἐγὼ δὲ σοὶ τῷ ταῖς μελέταις ἐμπομπεύοντι ἰσαρίθμους τοῖς ἐν Θερμοπύλαις ἀγωνιζομένοις στρατιώταις στρωτῆρας χρησθῆναι προσέταξα ἅπαντας εὐμήκεις καὶ κατὰ τὸν σὸν Ὅμηρον δολιχοσκίους, οὕς μοι σώους ὁ ἱερὸς Δῖος ἀποκαταστήσειν κατεπηγγείλατο.

15 t Βασιλείῳ Λιβάνιος. Οὐ παύσῃ, Βασίλειε, τὸν ἱερὸν τοῦτον τῶν Μουσῶν σηκὸν μεστὸν ποιῶν Καππαδοκῶν καὶ ταῦτα ἀποζόντων γρύτης καὶ χιόνος καὶ τῶν ἐκεῖθεν καλῶν; μικροῦ δέ με καὶ Καππαδόκην ἔθηκαν ἀεί μοι τὸ προσκυνῶ σε προσᾴδοντες.

15 1 δεῖ δὲ ὅμως ἀνέχεσθαι Βασιλείου κελεύοντος. ἴσθι τοίνυν ὡς τῆς μὲν χώρας τοὺς τρόπους ἐξακριβάζω, τὴν δὲ εὐγένειαν καὶ τὸ ἐμμελὲς τῆς ἐμῆς Καλλιόπης μεταμφιάσω τοὺς ἄνδρας, ἵν’ ὀφθεῖεν ὑμῖν ἀντὶ φασσῶν περιστεραί.

16 t Λιβανίῳ Βασίλειος. Λέλυταί σοι τὸ δύσθυμον, τοῦτο γὰρ ἔστω τῆς ἐπιστολῆς τὸ προοίμιον, σὺ δὲ σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα εἴτε γελῶν εἴτε σπουδάζων.

16 2 τί δὲ χιόνος ἢ γρύτης ἐμνημόνευσας παρὸν ἐντρυφᾶν ἡμῶν τοῖς σκώμμασιν; ἐγὼ δέ, ὦ Λιβάνιε, ἵνα σοι καὶ πλατὺν κινήσω τὸν γέλωτα, ὑπὸ παραπετάσματι καλυπτόμενος χιόνος τὴν ἐπιστολὴν ἔγραψα. ἣν δεξάμενος καὶ ψαύων χερσὶ γνώσῃ ὡς κρυερά τις αὐτὴ καὶ τὸν πέμψαντα χαρακτηρίζει ἐμφωλεύοντα καὶ μὴ δυνάμενον ἔξω τῶν δωματίων προκύπτειν.

16 4 τάφους γὰρ τοὺς οἴκους κεκτήμεθα, μέχρις ἐπιλάβοι τὸ ἔαρ καὶ νεκροὺς ἡμᾶς ὄντας πρὸς ζωὴν ἐπανάξει πάλιν τὸ εἶναι ὥσπερ φυτοῖς χαριζόμενον. Λιβανίῳ Βασίλειος.

17 1 Πολλοὶ περιτυχόντες ἡμῖν τῶν αὐτόθι ἐθαύμασάν σου τὴν ἐν τοῖς λόγοις ἀρετήν. ἔλεγον γὰρ ἐπίδειξίν τινα γεγενῆσθαι λαμπρὰν ἄγαν. καὶ ἀγὼν ἦν, ὡς ἔφασκον, μέγιστος, ὡς πάντας μὲν συνδραμεῖν, μηδένα δ’ ἕτερον ἐν τῇ πόλει φανῆναι ἢ μόνον Λιβάνιον ἀγωνιζόμενον καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. οὐ γὰρ ἠξίου τις ἔξω τῶν ἀγώνων γενέσθαι οὐκ ἀξιώματος ὄγκῳ συνών, οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, οὐ βαναύσοις τέχναις σχολάζων. ἤδη δὲ καὶ γυναῖκες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεῖναι κατηπείγοντο τοῖς ἀγῶσι. τίς δὲ ὁ ἀγών; τίς δὲ ὁ λόγος ὁ τὴν πάνδημον συναγείρας πανήγυριν; καὶ δή μοι ἤγγειλαν δυσκόλου τρόπον ἀνδρὸς τὸν λόγον ἐνστήσασθαι.

17 3 ὃν οὕτω θαυμασθέντα μὴ κατόκνει μοι πέμψαι, ἵνα κἀγὼ τῶν λόγων ἐπαινέτης εἴην τῶν σῶν. ὁ γὰρ Λιβάνιον ἐπαινῶν καὶ τῶν ἔργων ἐκτὸς τίς ἂν γένωμαι νῦν ὑπόθεσιν ἐπαίνων εὑράμενος; Βασιλείῳ Λιβάνιος.

18 1 Ἰδού, πέπομφα τὸν λόγον ἱδρῶτι περιρρεόμενος. πῶς γὰρ οὐκ ἔμελλον ἀνδρὶ τοιούτῳ πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν Πλάτωνος σοφίαν καὶ τὴν Δημοσθένους δεινότητα τῇ περὶ τοὺς λόγους εὐμαθείᾳ δεῖξαι θρυλλουμένας μάτην; τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. ὅθεν πέφρικα καὶ τρέμω τὴν ἡμέραν λογιζόμενος, καθ’ ἣν ἐπισκέψῃ τοὺς λόγους, μικροῦ δὲ καὶ τῶν φρενῶν ἐκπέπτωκα.

19 t Λιβανίῳ Βασίλειος. Ἀνέγνων τὸν λόγον, σοφώτατε, καὶ ὑπερτεθαύμακα.

19 1 ὦ Μοῦσαι καὶ λόγοι καὶ Ἀθῆναι, οἷα τοῖς ἐρασταῖς δωρεῖσθε. οἵους κομίζονται τοὺς καρποὺς οἱ βραχύν τινα χρόνον ὑμῖν συγγινόμενοι. ὢ πηγῆς πολυχεύμονος, οἵους ἔδειξε τοὺς ἀρυομένους. αὐτὸν γὰρ τὸν δύσκολον ἐδόκουν ὁρᾶν ἐν τῷ λόγῳ λάλῳ συνόντα γυναίῳ.

19 2 ἔμπνουν γὰρ λόγον ἐπὶ χθονὸς Λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο. Βασιλείῳ Λιβάνιος.

20 1 Νῦν ἔγνων εἶναι, ὃ λέγομαι. Βασιλείου γάρ με ἐπαινέσαντος κατὰ πάντων ἔχω τὰ νικητήρια, καὶ τὴν ψῆφον δεξαμένῳ τὴν σὴν ἔπεισί μοι βαδίζειν μετὰ σοβαροῦ τοῦ βαδίσματος, οἷά τις ἀλαζὼν τοὺς πάντας περιφρονῶν. ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθης λόγος πεποίηται, βουλόμεθα τούτῳ περιτυχεῖν.

20 2 ἀλλὰ κομψὸν μέν τι λέγειν οὐκ ἐθέλω, ὁ δὲ λόγος ὀφθεὶς διδάξει με τὴν τοῦ λέγειν τέχνην. Βασιλείῳ Λιβάνιος.

21 1 Ἆρα, Βασίλειε, μὴ τὰς Ἀθήνας οἰκεῖς καὶ λέληθας σεαυτόν; οὐ γὰρ τῶν Καισαρέων οἱ παῖδες ταῦτα ἀκούειν ἠδύναντο. ἡ γλῶττα γάρ μοι τούτων ἐθὰς οὐκ ἦν, ἀλλ’ ὡσπερεί τινα κρημνὸν διοδεύοντος πληγεῖσα τῇ τῶν ὀνομάτων καινοτομίᾳ ἐμοὶ τῷ πατρὶ ἔλεγε· πάτε ρ , οὐκ ἐδίδαξας · Ὅμηρος οὗτος ἀνή ρ ; ἀλλὰ Πλάτω ν ; ἀλ λ ’ Ἀριστοτέλη ς ; ἀλλὰ Σουσαρίων ὁ τὰ πάντα ἐπιστάμενο ς ; καὶ ταῦτα μὲν ἡ γλῶττα· σὲ δὲ εἴη, Βασίλειε, τοιαῦτα ἡμᾶς ἐπαινεῖν.

22 t Λιβανίῳ Βασίλειος. Δεχομένοις μὲν ἡμῖν ἃ γράφεις χαρά, ἀπαιτουμένοις δὲ πρὸς ἃ γράφεις ἀντεπιστέλλειν ἀγών.

22 1 τί γὰρ ἂν εἴποιμεν πρὸς οὕτως ἀττικίζουσαν γλῶτταν, πλὴν ὅτι ἁλιέων εἰμὶ μαθητής, ὁμολογῶ καὶ φιλῶ; Βασιλείῳ Λιβάνιος.

23 1 Τί παθὼν Βασίλειος ἐδυσχέρανε τὸ γράμμα, τῆς φιλοσοφίας τὸ γνώρισμα; παίζειν παρ’ ὑμῶν ἐδιδάχθημεν, ἀλλ’ ὅμως τὰ παίγνια σεμνὰ καὶ οἱονεὶ πολιᾷ πρέποντα. ἀλλὰ πρὸς τῆς φιλίας αὐτῆς καὶ τῶν κοινῶν διατριβῶν, λῦσόν μοι τὴν ἀθυμίαν ἥν μοι ἔτεκεν ἡ ἐπιστολὴ οὐδὲν πρὸς τὰς ἑτέρας ἐπιστολὰς διαφέρουσα.

24 t Βασιλείῳ Λιβάνιος. Ὢ χρόνων ἐκείνων, ἐν οἷς πάντα ἦμεν ἀλλήλοις.

24 1 νῦν δὲ διῳκίσμεθα πικρῶς, ὑμεῖς μὲν ἔχοντες ἀλλήλους, ἐγὼ δὲ ἀνθ’ ὑμῶν οἱοίπερ ὑμεῖς οὐδένα. τὸν δὲ Ἄλκιμον ἀκούω τὰ νέων ἐν γήρᾳ τολμᾶν καὶ πρὸς τὴν Ῥώμην πέτεσθαι περιθέντα σοι τὸν τοῦ συνεῖναι τοῖς παιδαρίοις πόνον.

24 3 σὺ δὲ τά τε ἄλλα πρᾷός τις καὶ τοῦτο οἴσεις οὐ χαλεπῶς, ἐπεὶ καὶ ἡμῖν τοῦ μὴ γράψαι πρότερον οὐκ ἔσχες χαλεπῶς. Βασιλείῳ Λιβάνιος.

25 1 Καὶ πῶς ἂν ἐπιλαθοίμην ἡμερῶν ἐκείνων καὶ λόγων καὶ κρότων; ὡς ἔμοιγε ἀνάγραπτος ὁ βραχὺς ἐκεῖνος χρόνος καὶ πολλῶν ἐτῶν ἀντάξιος καὶ πάσης ἑορτῆς ἡδίων. ἀλλ’, οἶμαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλοῖς ἂν ἄνθρωπος ἐκκρουσθείη σπουδῆς ἄλλως τε καὶ ἐν πόλει τοσαύτῃ καὶ κλύδωνι μεγάλῳ τάχα που καὶ ἡμᾶς περικλύζοντι. δεῖ δή σε τέρπεσθαι μέν, εἰ λαμβάνοις γράμματα· μὴ λαβεῖν δὲ εἰ συμβαίη, πάντα μᾶλλον εἰκάζειν ἢ ὡς οὐ σὺ παρ' ἐμοὶ τίμιος. [5]

25 2 καὶ τοὺς νεανίσκους, ὑπὲρ ὧν ὡς ἡμᾶς ἦλθες, μὴ μόνον ἐκ τῆς κηδείας, ἀλλὰ καὶ ἐμὴν χάριν φιλεῖν. Λιβανίῳ Βασίλειος.

26 1 Σὺ μὲν ὅλην τὴν τῶν παλαιῶν τέχνην ἐν τῇ σαυτοῦ κατακλείσας διανοίᾳ τοσοῦτον σιγᾷς, ὡς μηδ' ἐν ἐπιστολαῖς ἡμῖν διδόναι τι κερδαίνειν. ἐγὼ δέ, εἴπερ ἦν ἀσφαλὲς ἡ τοῦ Δαιδάλου τέχνη, ἦλθον ἂν παρὰ σὲ ποιησάμενος Ἰκάρου πτερόν. ἀλλ' ὅμως, ἐπειδὴ οὐκ ἔνι πιστεῦσαι ἡλίῳ κηρόν, ἀντὶ τῶν Ἰκάρου πτερῶν ἐπιστέλλω σοι λόγους δεικνύντας τὴν ἡμετέραν φύσιν.

26 2 φύσις δὲ λόγων μηνύουσα τοὺς κατὰ ψυχὴν ἔρωτας. καὶ ταῦτα μὲν οἱ λόγοι· σὺ δὲ αὐτοὺς ἄγοις, ὅποι βούλει.

26 3 καὶ τηλικοῦτον κράτος κεκτημένος σιωπᾷς. ἀλλὰ μετάστησον καὶ ἐφ' ἡμᾶς τὰς ἀπὸ τοῦ στόματός σου τῶν λόγων πηγάς.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org